verba vice alterius argumenti fabulae praemisit Barnesius: Μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς, οἱ παῖδες αὐτοῦ φυγόντες Εὐρυσθέα, πρὸς Κήϋκα (v. 194.) παρεγένοντο. ὡς δὲ, ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως, καὶ πόλεμον ἀπειλοῦντος, ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες, διὰ τῆς Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ, ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν Ἐλέου βωμὸν, ἠξίουν βοηθεῖσθαι. Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς, πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν. καὶ τοὺς μὲν παῖδας αὐτοῦ Ἀλέξανδρον, Ἰφιμέδοντα, Εὐρύβιον, Μέντορα, Περιμήδην, ἀπέκτειναν. αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρματος, καὶ πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας, κτείνει διώξας Ὕλλος. καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν, Ἀλκμήνῃ δίδωσιν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ. Cum Apollodoro consentit Pausanias I. c. 44. p. 109. a Brodaeo ad v. 1026. citatus: Προελθοῦσι δὲ ἐς τὸ πρόσω, μνῆμά ἐστιν Εὐρυσθέως. φεύγοντα δὲ ἐκ τῆς Ἀττικῆς μετὰ τὴν πρὸς Ἡρακλείδας μάχην ἐνταῦθα ἀποθανεῖν αὐτὸν ὑπὸ Ἰολάου λέγουσιν. Latius Atticae nomen sumsisse videtur Thucydides I. 9. Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος. Scironidas rupes describit Strabo IX. p. 391. Μετὰ δὲ Κρομμυῶνα ὑπέρκεινται τῆς ἀκτῆς (male vulgo τῆς Ἀττικῆς) αἱ Σκειρωνίδες πέτραι, πάροδον οὐκ ἀπολείπουσαι πρὸς θαλάττῃ. ὑπὲρ αὐτῶν δ' ἐστὶν ἡ ὁδὸς ἡ ἐπὶ Μεγάρων καὶ τῆς Ἀττικῆς ἀπὸ τοῦ ἰσθμοῦ. οὕτω δὲ σφόδρα πλησιάζει ταῖς πέτραις ἡ ὁδὸς, ὥστε πολλαχοῦ καὶ παράκρημνός ἐστι, διὰ τὸ ὑπερκείμενον ὄρος δύσβατόν τε καὶ ὑψηλόν. ἐνταῦθα δὲ μυθεύεται τὰ περὶ τοῦ Σκείρωνος καὶ τοῦ Πιτυοκάμπτου, τῶν ληϊζομένων τὴν λεχθεῖσαν ὀρεινὴν, οὓς καθεῖλε Θησεύς. ἀπὸ δὲ τῶν ἄκρων τούτων καταιγίζοντα σκαιὸν τὸν Ἀργέστην, Σκείρωνα προσηγορεύκασιν Ἀθηναῖοι. Post Strabonis aetatem, viam latiorem et meliorem reddidit Hadrianus Caesar, teste Pausania p. 107. Τὴν δὲ ὀνομαζομένην ἀπὸ Σκίρωνος [καὶ ἐς τόδε Σκιρώνην] ἡνίκα Μεγαρεῦσιν ἐπολεμάρχει, πρῶτος, ὡς λέγουσιν, ἐποίησεν ἀνδράσιν εὐζώνοις ὁδεύειν. Ἀδριανὸς δὲ ὁ βασιλεὺς καὶ οὕτως, ὡς καὶ ἅρματα ἐναντία ἐλαύνεσθαι, κατέστησεν εὐρυχωρῆ τε καὶ ἐπιτηδείαν εἶναι. Verba καὶ ἐς τόδε Σκιρώνην corrupta sunt. E recentioribus consulendus in primis Wheelerus, *Travels in Greece*, p. 436. Quod ad scripturam vocis attinet, alii Σκείρων et Σκειρωνίδες per diphthongum, alii Σκῖρων et Σκιρωνίδες per simplicem vocalem scribunt. De qua re consulendus omnino Tzschuckius ad Strabonem VIII. p. 380. cum scriptoribus ab eo indicatis. Ventus ΣΚΙΡΩΝ appellatur in aede octo ventorum Athenis. Quocunque modo scribatur, sine ulla controversia producitur prima syllaba. Egregie fallitur Stephanus Byzantinus v. Σκίρος, qui locum Atticae Σκίρον appellatum, ubi celebrabatur festum Σκίρα sive ἐπὶ Σκίρῳ, ad eandem familiam refert cum rupibus Σκειρωνίσι. Σκίρα